ἂν αὐτοῦ καταγνοίημεν, ἐπαληθεύσαιμεν δὲ καὶ τὴν παρ'
B ἐνίοις κρατοῦσαν δόξαν ὡς ἄρα κρεῖττόν ἐστι τὸ τεθνάναι τοῦ
ζῆν. ὁ γοῦν Σιμωνίδης (fr. 54)

'ἀνθρώπων' φησίν 'ὀλίγον μὲν κάρτος, ἄπρακτοι δὲ μεληδόνες,
αἰῶνι δ' ἐν παύρῳ πόνος ἀμφὶ πόνῳ.
ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον [μέρος] οἵ τ' ἀγαθοί
ὅστις τε κακός.'

Πίνδαρος δέ (Pyth. III 81)

'ἓν παρ' ἐσθλὸν σύνδυο πήματα δαίονται βροτοῖς
ἀθάνατοι. τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν.'

Σοφοκλῆς δέ (fr. 761)

'σὺ δ' ἄνδρα θνητὸν εἰ κατέφθιτο στένεις,
εἰδὼς τὸ μέλλον οὐδὲν εἰ κέρδος φέρει;'

Εὐριπίδης δέ (Alc. 780)

'τὰ θνητὰ πράγματ' οἶσθά γ' ἣν ἔχει φύσιν;
δοκῶ μὲν οὔ· πόθεν γάρ; ἀλλ' ἄκουέ μου.
C βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστιν αὐτῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται.'

τοιούτου δὴ τοῦ βίου τῶν ἀνθρώπων ὄντος οἷόν οὗτοί φασι, πῶς οὐκ εὐδαιμονίζειν μᾶλλον προσήκει τοὺς ἀπολυθέντας τῆς ἐν αὐτῷ λατρείας ἢ κατοικτείρειν τε καὶ θρηνεῖν, ὅπερ οἱ πολλοὶ δρῶσι δι' ἀμαθίαν;